GREK 2051 (Spring 2011)

**BIBLICAL READINGS**

supplement to Shelmerdine 2nd edition

**Chapter 30**

The rules of conscription for a Holy War.

5 καὶ λαλήσουσιν οἱ γραμματεῖς πρὸς τὸν λαὸν λέγοντες Τίς ὁ ἄνθρωπος ὁ
οἰκοδομήσας οἰκίαν καινὴν καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; πορευέσθω καὶ
ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος
ἕτερος ἐγκαινιεῖ αὐτήν. 6 καὶ τίς ὁ ἄνθρωπος, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ οὐκ
εὐφράνθη ἐξ αὐτοῦ; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ
ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ. 7 καὶ τίς ὁ
ἄνθρωπος, ὅστις μεμνήστευται γυναῖκα καὶ οὐκ ἔλαβεν αὐτήν; πορευέσθω καὶ
ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος
ἕτερος λήμψεται αὐτήν. 8 καὶ προσθήσουσιν οἱ γραμματεῖς λαλῆσαι πρὸς τὸν λαὸν
καὶ ἐροῦσιν Τίς ὁ ἄνθρωπος ὁ φοβούμενος καὶ δειλὸς τῇ καρδίᾳ; πορευέσθω καὶ
ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, ἵνα μὴ δειλιάνῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ
αὐτοῦ ὥσπερ ἡ αὐτοῦ.

(Δευτερονομίων 20.5-8)

ἀδελφός -οῦ ὁ brother
ἀμπελών –ος ὁ vineyard
ἀποστραφήτω < ἀποστρέφω turn away
γραμματεύς –έως ὁ secretary, scribe
δειλιαίνω make cowardly
δειλός –η –ον cowardly
ἐγκαινίζω renew, dedicate
ἐρέω used as future of λέγω
ἕτερος –α –ον other
εὐφραίνω delight in, be happy
καινός –ή –όν new
καρδία –ας ἡ heart
λαλέω = λέγω
λαός –οῦ ὁ the people
μνηστεύω betroth
οἰκία –ας ἡ household
οἰκοδομέω build a house
προστίθημι here "go further to"
φοβέω frighten
φυτεύω grow